El griego en que están escritos los Evangelios no es el de la época clásica, sino el llamado de la Κοινή. *Este griego tiene su origen en el ático popular, impregnado de jonismos y mezclado con algunos otros elementos esporádicos. No tiene la pureza y elegancia de la lengua clásica del siglo V, y los literatos de esta época sólo le dan entrada en algunas comedias cuando introducen en escena personajes del pueblo.*

Fue el griego que los soldados de Alejandro Magno propagaron en sus conquistas y que por haberse generalizado después de la muerte del Macedón en los tres reinos en que se dividió su imperio, llamosé Κοινή *o común. Más tarde, cuando los romanos se anexionaron Grecia, Siria y Pérgamo, adoptaron la lengua de los vencidos, no sólo como necesaria para el gobierno, sino también como excelente vehículo de cultura, cumpliéndose lo que dice Horacio en su Epístola, 2. I, 156:*

Graecia capta ferum victorem cepit et artes
intulit agresti Latio.

Defínese el griego de la Κοινή *«el conjunto de formas que en su desarrollo adquiere el griego vulgar desde Alejandro Magno hasta el fin de la Edad Antigua, es decir, hasta el año 500 después de Cristo».*

No es éste el lugar de estudiar las diferencias entre el griego clásico y la Κοινή. *Notemos tan sólo que en la traducción de los Setenta y en los Evangelios, hay que tener además en cuenta las influencias semíticas. Los trozos escogidos para este volumen primero de la Antología, son muy aptos para los principiantes por su sencillez y encanto.*

David y Goliat

Situación de los campamentos

197. Οἱ Ἀλλόφυλοι [1] ὑπὸ Σαούλου νικηθέντες, οὐ πολλοῖς ὕστερον χρόνοις [2] δύναμιν ἀθροίζουσι μεγάλην εἰς πόλεμον. Ἄγει δ'ἐπὶ αὐτοὺς [3] τὴν στρατίαν ὁ Σάουλος. Ἀμφότεροι μὲν λαοὶ ἐπ' ὀρῶν δύο καθέζοντο ἀντίοι, αὐλὼν δὲ τῆς Τερεβίνθου μέσος ἦν τῶν στρατοπέδων.

El gigante Goliat

198. Ἐνταῦθα κατα-βαίνει τις ἐκ τῆς παρ-εμβολῆς τῶν Ἀλλοφύλων, Γολιάθης ὄνομα [1], πόλεως δὲ Γίττης, ἀνὴρ παμ-μεγέθης. Ὕψος γὰρ αὐτοῦ ἦν πήχεων ἓξ καὶ σπιθαμῆς.

Sus armas

199. Ἦν δὲ κόρυς χαλκῆ [1] ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ θώραξ [2] ἀλυσιδωτὸς περὶ τὸ στῆθος αὐτοῦ, καὶ κνημῖδες χαλκαῖ ἐπὶ τῶν σκελῶν [3] αὐτοῦ· ἔστεγε δὲ τοὺς ὤμους [4] ἀσπὶς χαλκῆ. Ὁ δὲ κοντὸς τοῦ δόρατος, ὃ ἐφόρει, ἦν ὡσεὶ μεσάντιον ὑφαινόντων.

Goliat provoca al ejército israelita

200. Προς-έρχεται οὖν ὁ γίγας πρὸς τὴν παρά-ταξιν τῶν Ἰσραηλιτῶν, καὶ ἀνα-βοᾷ· «Τίς ἀνάγκη [1] σύμπαντας ὑμᾶς παρα-τάσσεσθαι πολέμῳ ἐξ-εναντίας ἡμῶν; Ἐκλέγεσθε ἑαυτοῖς [2] ἄνδρα μόνον, καὶ οὗτος ἀντίον μου χωρησάτω. Ἐάν με νικήσῃ [3], ἐσόμεθα ὑμῖν δοῦλοι· [4] ἐὰν δ' αὐτὸν ἐγὼ νικήσω [5] δουλεύσετε ἡμῖν.»

---

197. [1] Οἱ Ἀλλό-φυλοι, los filisteos. Etimológicamente: los de otra raza o pueblo.

[2] Οὐ πολλοῖς ὕστερον χρόνοις, no mucho tiempo después.

[3] Ἄγει δ'..., conduce contra aquellos.

198. [1] Ὄνομα, por nombre, en cuanto al nombre. En acusativo de relación. Gr. n.° 278.

199. [1] Χαλκῆ, de bronce. Es femenino contracto de χαλκέος, α, ον.

[2] Θώραξ, coraza, armadura que cubre el pecho. También significa tórax > *torácico*.

[3] Σκελῶν, gen. del pl. de σκέλος, εος, pierna > Ἰσοσκελής de piernas iguales (ἴσος, igual) *isósceles* se llama al triángulo que tiene dos lados iguales.

[4] Ὤμους, hombros > ὠμοπλάτη (πλάτη, superficie ancha), *omoplato*.

200. [1] Ἀνάγκη (ἐστί).

[2] Ἑαυτοῖς, de entre vosotros.

[3] Ἐάν με νικήσῃ, si me vence. Aor. de subj.; es una condicional.

[4] Οἱ δοῦλοι, como esclavos.

[5] Ἐὰν... νικήσω, si le venzo. Aor. de subj.; es una condicional.

201. Ταῦτ' εἰπὼν ἀν-εχώρησεν εἰς τὸ τῶν οἰκείων [1] στρατόπεδον. Καὶ γαυριώμενος ἔλεγε· «Σήμερον ἐλοιδόρησα τὴν παρά-ταξιν τῶν Ἑβραίων.»

Τῇ δὲ ἑξῆς [2] ἡμέρᾳ πάλιν ὁ Γολιάθης προ-εχώρει, καὶ αὖθις ἀν-εβόα· «Δότε [3] μοι δὴ ἄνδρα, καὶ μονο-μαχήσομεν ἀμφότεροι.»

Temor de los israelitas

202. Ἤκουε δ' ὁ Σάουλος καὶ πᾶς Ἰσραὴλ τὰ ῥήματα τοῦ Ἀλλοφύλου ταῦτα, καὶ ἐφοβοῦντο σφόδρα.

Ὁ δὲ μέχρι τεσσαράκοντα ἡμερῶν προς-ήρχετο, καὶ τοὺς αὐτοὺς ἐποίει λόγους [1], καὶ οὐ δι-έλειπε προκαλούμενος [2] τοὺς Ἑβραίους.

Αἱ δὲ στρατιαὶ παρ-ετάσσοντο μὲν εἰς μάχην, οὐκ ἤρχοντο δὲ εἰς χεῖρας.

David va al campamento israelita

203. Ἦσαν μέντοι ὀκτὼ υἱοὶ ἀνδρί [1] τινι Βηθλεεμίτῃ, Ἰεσσαίῳ τοὔνομα [2], ὄντι γηραιῷ. Δαυίδης δὲ, ὁ νεώτερος τῶν υἱῶν τοῦ Ἰεσσαίου, ἐποίμαινε τὰ πρόβατα τοῦ πατρὸς ἐν νομαῖς τῆς Βηθλεέμης πόλεως. Τρεῖς δὲ τῶν ἀδελφῶν αὐτοῦ, οἱ μείζονες, ἦσαν ἐν τῇ παρεμβολῇ.

204. Εἶπεν οὖν τῷ Δαυίδῃ ὁ πατήρ· «Λάμβανε ἄρτους τούτους, καὶ φέρε τοῖς ἀδελφοῖς σου εἰς τὴν παρεμβολήν.»

«Καὶ τὰς δέκα τροφαλίδας γάλακτος ταύτας τῷ χιλιάρχῳ δώσεις [1] καὶ γνώσῃ [2] τί ποιοῦσιν [1] οἱ ἀδελφοί σου».

Ὀρθρίζων οὖν ὁ Δαυίδης πορεύεται ἐπὶ τὸν στρατόν.

David oye a Goliat

205. Ἥκων δὲ εἰς τὴν παρεμβολὴν βλέπει τὸν γίγαντα προς-ερχόμενον, καὶ ἀκούει [1] αὐτοῦ προκαλουμένου τε καὶ ὀνειδίζοντος ὅτι μηδείς ἐστιν ἀνδρεῖος ἐν ὅλῳ τῶν Ἑβραίων λαῷ.

---

201. [1] Οἰκείων, de los suyos, de los de su patria.

[2] Ἑξῆς ἡμέρᾳ, y al día siguiente.

[3] Δότε, imperativo de aoristo de δίδωμι.

202. [1] Ἐποίει λόγους, les hizo el mismo discurso.

[2] Προ-καλούμενος, no cesaba de provocar. Es un participio completivo; depende de διέλειπε.

203. [1] Ἀνδρί. El verbo εἰμί, con dativo, significa tener. Gr. n.° 238, 4.

[2] Τοὔνομα, crasis, en vez de τὸ ὄνομα. Está en acusativo de parte. Gr. n.° 278.

204. [1] Δώσεις, fut. de ind. de δίδωμι.

[2] Καὶ γνώσῃ, y conocerás (verás) qué hacen.

205. [1] Ἀκούω, rige genitivo.

David en presencia del rey

206. Δαυίδης ἐπὶ τοσαύτῃ ὕβρει ἀγανακτήσας προς-έρχεται τῷ βασιλεῖ καὶ λέγει·

«Θαρρήσον, ὦ βασιλεῦ, καθ-αιρήσω γὰρ ἐγὼ τὴν ἀλαζονείαν τοῦ πολεμίου, χωρήσας αὐτῷ διὰ μάχην.»

207. Εἶπε δὲ ὁ Σάουλος, τὸ τολμηρὸν τοῦ νεανίσκου θαυμάζων· «Οὐκ ἰσχύεις αὐτῷ μάχεσθαι· ὅτι παιδάριον μὲν εἶ συ, αὐτὸς δὲ ἀνὴρ πολεμίστης ἐστὶν ἐκ νεότητος αὐτοῦ.»

David cuenta al rey su victoria sobre osos y leones

208. Ἀλλ' εἶπε Δαυίδης πρὸς τὸν βασιλέα· «Ποιμαίνων ἦν ἐγώ ὁ δοῦλός σου, τὸ ποίμνιον τοῦ πατρός μου, καὶ ἤρχετο λέων ἢ ἄρκτος, καὶ ἐλάμβανον πρόβατον ἐκ τῆς ἀγέλης· ἐγὼ δ' ἐξ-εποευόμην ὀπίσω αὐτῶν, καὶ ἐπάτασσον αὐτούς, καὶ ἐξ-έσπασα ἐκ τοῦ στόματος αὐτῶν.

209. Καὶ αὐτοὶ μὲν ἐπ-αν-ίσταντο [1] ἐπ' εμέ· ἐκράτουν δὲ τοῦ φάρυγγος [2] αὐτῶν. Ἐγὼ γὰρ λέοντα καὶ ἄρκτον ἐθανάτωσα. Καὶ ἔσται ὁ Ἀλλόφυλος ὡς ἓν τῶν θηρίων τούτων [3]. Ἔασόν με πορεύεσθαι, ὦ βασιλεῦ, πρὸς τὸν ἀ-σεβῆ τὸν ἐφυβρίζοντα τὴν παράταξιν Θεοῦ ζῶντος.»

David rehusa las armas del rey

210. Τῇ προ-θυμίᾳ τοιγαροῦν καὶ τῇ τόλμῃ τοῦ παιδὸς εὐ-τυχὲς τέλος ὁ βασιλεὺς εὔχεται καὶ λέγει· «Πορεύου, καὶ ἔστω ὁ Κύριος μετὰ σοῦ.»

Καὶ τὸν ἑαυτοῦ θώρακα Δαυίδην ὁ Σάουλος ἐν-δύει [1], καὶ αὐτῷ περι-ζωννύει τὸ ξίφος, καὶ περι-κεφαλαίαν ἁρμόζει, καὶ ἐκ-πέμπει.

211. Ὁ δὲ Δαυίδης, βαρυνόμενος ὑπὸ τῶν ὅπλων τοῦ βασιλέως, περι-επάτησεν [1] ἅπαξ καὶ δὶς καὶ ἐκοπίασε. «Ταῦτα μέν, εἶπεν, ὦ βασιλεῦ, σὸς ἔστω κόσμος [2]· συγχώρησον δὲ, ὡς ἐγὼ βούλομαι, μάχεσθαι.»

Τίθησιν [3] οὖν τὰ ὅπλα τοῦ βασιλέως.

---

209. [1] ἐπ-αν-ίσταντο, imperfecto de ἐπ-αν-ίστημι.

[2] ἐκράτουν τοῦ φάρυγγος, y le cogí de la garganta; lit.: me apoderé de la garganta. Gr. n.° 251, 1.

[3] ὡς... τούτων, como uno de éstos: ἕν, *uno* se diferencia de ἐν, *en* por el espíritu.

210. [1] ἐν-δύω, pide dos acusativos.

211. [1] Περι-επάτησεν, aor. de ind. de περι-πατέω, andar alrededor > περι-πατετικοί, que andan alrededor; *peripatéticos*, discípulos de Aristóteles, así llamados porque este insigne filósofo solía dar sus lecciones paseándose por el Liceo.

[2] Ταῦτα σὸς ἔστω κόσμος, estas cosas sean tu adorno; ἔστω, imperativo de εἰμί.

[3] Τίθησιν, se quita. Presente de ind. de τίθημι.

Las armas de David

212. Τότε δὲ τὴν αὐτοῦ βακτηρίαν λαμβάνει, καὶ λίθους πέντε λείους ἐκ-λέγεται ἐκ τοῦ χειμάρρου, καὶ βάλλει εἰς τὴν ποιμενικήν· καὶ σφενδόνην ἐν τῇ δεξιᾷ χειρὶ φέρων, ἐπὶ τὸν Γολιάθην πορεύεται.

Goliat desprecia a David

213. Κατα-φρονεῖ δ' ὁ πολέμιος, οὕτως ὁρῶν αὐτὸν ἐρχόμενον, καὶ λέγει· «Ἦ [1] κυών εἰμι ἐγώ, ὅτι [2] σὺ ἥκεις πρὸς ἐμὲ ἐν ῥάβδῳ καὶ

ἐν λίθοις;» Καὶ κατ-ηράσατο ὁ Ἀλλόφυλος τὸν Δαυίδην ἐν τοῖς θεοῖς αὐτοῦ. Καὶ ἠπείλησε δώσειν [3] τὰς σάρκας αὐτοῦ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρσὶ τῆς γῆς.

Ἐξ-ητίμαζε [4] δ' αὐτὸν ὅτι παιδάριον ἦν, καὶ πυρράκης, καὶ ὡραῖος τὴν ὄψιν [5].

---

213. [1] Ἦ, ¿acaso...?

[2] Ὅτι, puesto que vienes.

[3] Δώσειν, fut. de inf. de δίδωμι.

[4] Ἐξ-ητίμαζε, despreciaba; imperf. de ἐξ-ατιμάζω, (cfr. 112, 7).

[5] Τὴν ὄψιν, en cuanto al rostro. Es acusativo de relación. Gr. n.° 278.

Respuesta de David

214. Ἐμείβεται δ' αὐτὸν ὁ Δαυίδης· «Σὺ μὲν ἐπέρχῃ μοι ἐν ῥομφαίᾳ καὶ ἐν δόρατι καὶ ἐν θώρακι καὶ ἐν ἀσπίδι. Ἐγὼ δε πορεύομαι πρός σε ὀνόματι Κυρίου τοῦ Θεοῦ, ὃν ἐφ-υβρίζεις. Καὶ ἐγὼ ἀφ-αιρήσω τὴν κεφαλήν σου ἀπὸ σοῦ, καὶ δώσω [1] τὰ κῶλά σου τοῖς πετεινοῖς οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς· καὶ γνώσεται πᾶσα ἡ γῆ ὅτι ἐστὶ Θεὸς ἐν Ἰσραήλ.»

David vence a Goliat

215. Κινεῖ πρὸς ὀργὴν τὸν Ἀλλόφυλον τὰ ῥήματα ταῦτα. Βαδίζει ὁ βάρβαρος ἐπὶ τὸν Δαυίδην, παῖδα γυμνόν [1], ἐλπίζων ἀ-πόνως ἀν-αιρήσειν.

Ἀπαντᾷ δὲ ὁ νεανίσκος τῷ πολεμίῳ, λαμβάνει ἐκ τῆς πήρας λίθον ἕνα, καὶ ἁρμόζει τῇ σφενδόνῃ, καὶ βάλλει ἐπὶ τὸν Γολιάθην εἰς τὸ μέτωπον.

216. Καὶ δια-δύει ὁ λίθος ἕως τοῦ ἐγ-κεφάλου· καὶ πίπτει ὁ γίγας ἐπὶ τὴν ὄψιν.

Δραμὼν [1] δὲ αὐτίκα Δαυίδης ἐπι-βαίνει τοῦ πολεμίου [2] κειμένου, καὶ τῇ ῥομφαίᾳ τῇ ἐκείνου (μάχαιραν οὐκ ἔχων αὐτός) ἀπο-τέμνει τὴν κεφαλὴν αὐτοῦ.

Derrota de los filisteos

217. Ἐνταῦθα οἱ μὲν Ἀλλόφυλοι τὸν δοκιμώτατον αὐτῶν πεφονευμένον ὁρῶντες, φεύγουσιν· πᾶς δὲ ὁ τῶν Ἑβραίων στρατὸς ἀλαλάζοντες [1] ἐκ-πηδῶσιν ἐπ' αὐτούς, καὶ πολλοὺς ἀπο-σφάττοντες διώκουσιν ἄχρι τῶν Γίττης ὁρίων καὶ τῶν πυλῶν τοῦ Ἀσκάλωνος.

Ὁ δὲ Δαυίδης ὑπο-στρέφει εἰς τὴν παρ-εμβολήν, πρὸς τὸν βασιλέα, κομίζων τὴν κεφαλὴν Γολιάθου καὶ τὴν αὐτοῦ ῥομφαίαν.

---

214. [1] Δώσω, fut. de ind. de δίδωμι.

215. [1] Γυμνόν, desnudo de armas, sin armas; porque iba sin casco ni coraza ni espada.

216. [1] Δραμών, aoristo de part. de τρέχω, correr.

[2] Ἐπι-βαίνει τοῦ πολεμίου. El genitivo πολεμίου está regido por la preposición del verbo.

217. [1] Στρατὸς... ἀλαλάζοντες. Con un colectivo en singular se puede poner el verbo en plural.

Nacimiento de N. S. Jesucristo

Viaje a Belén

218. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξ-ῆλθεν δόγμα [1] παρὰ Καίσαρος Αὐγούστου [2] ἀπο-γράφεσθαι [3] πᾶσαν τὴν οἰκουμένην [4]. Αὕτη ἡ ἀπο-γραφὴ πρώτη ἐγένετο, ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου, καὶ ἐπορεύοντο πάντες ἀπο-γράφεσθαι ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν. Ἀν-έβη [5] δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲθ εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαυίδ, ἥτις καλεῖται Βηθλέεμ, διὰ τὸ εἶναι [6] αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ, ἀπογράψασθαι [7] σὺν Μαριὰμ τῇ ἐμνηστευμένῃ [8] αὐτῷ οὔσῃ ἐγ-κύῳ.

Nace Jesucristo

219. Ἐγένετο, δὲ ἐν τῷ εἶναι [1] αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν [2] αἱ ἡμέραι τοῦ τεκεῖν [3] αὐτὴν, καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς τὸν πρωτό-τοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ κατα-λύματι.

---

218. [1] Δόγμα, ατος, decreto, *dogma*.

[2] Παρὰ Καίσαρος Αὐγούστου, de parte de César Augusto. Augusto fue el primer emperador romano. Había nacido en Nola el año 63 a. de J. C. Después de largas luchas con sus rivales Casio y Antonio, se hizo el amo de Roma. Murió en Nola el año 15 después de J. C,

[3] Ἀπο-γράφεσθαι, de que se inscribiese.

[4] Πᾶσαν τὴν οἰκουμένην, (se s. γῆν), toda la habitada (tierra); es decir, el imperio Romano, bajo cuyo dominio estaba sometido casi todo el mundo entonces conocido.

[5] Ἀν-έβη, subió (ἀνά, arriba); βαίνω, ir, aor. 2.° de ἀναβαίνω.

[6] Διὰ τὸ εἶναι αὐτόν, por ser él, porque era él. Gr. n.° 320.

[7] Ἀπο-γράψασθαι, va regido de ἀν-έβη. Los verbos de movimiento suelen llevar con frecuencia en griego un infinitivo con sentido final. Gr. n.° 314, 2.

[8] Ἐμνηστευμένῃ, part. de perf. de μνηστεύω, casarse, rige dativo.

[9] Οὔσῃ, part. de pres. de εἰμί.

219. [1] Ἐν τῷ εἶναι ἐκεῖ en el estar allí, mientras estaba allí.

[2] Ἐπλήσθησαν, aor. pas. de πίμπλημι, llenar, cumplir.

[3] Τεκεῖν, aor. 2.° del inf. de τίκτω, engendrar, dar a luz.

Aparición de los Ángeles

220. Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς [1] τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. Καὶ ἄγγελος Κυρίου ἐπ-έστη αὐτοῖς καὶ δόξα Κυρίου περι-έλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν [2].

221. Καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· «μὴ φοβεῖσθε, ἰδοὺ γὰρ εὐ-αγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη [1] ὑμῖν σήμερον Σωτήρ, ὅς ἐστιν Χριστὸς Κύριος ἐν πόλει Δαυίδ. Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε [2] βρέφος ἐσπαργανωμένον [3] καὶ κείμενον [4] ἐν φάτνῃ». Καὶ ἐξ-αίφνης [5] ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν Θεὸν καὶ λεγόντων· «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐ-δοκίας».

Adoración de los pastores

222. Καὶ ἐγένετο ὡς ἀπ-ῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, οἱ ποιμένες ἐλάλουν πρὸς ἀλλήλους· «διέλθωμεν [1] δὴ ἕως Βηθλέεμ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς [2] ὃ [3] ὁ Κύριος ἐγνώρισεν ἡμῖν». Καὶ ἦλθον σπεύσαντες, καὶ ἀν-εῦρον [4] τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ. Ἰδόντες [5] δὲ διεγνώρισαν [6] περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου.

223. Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. Ἡ δὲ Μαρία πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμ-βάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ ὑπέστρεψαν οἱ ποιμένες

---

220. [1] Φυλακὰς, acus. de φυλακή, ῆς, guardia (hacer guardia). No se le confunda con el acus. de φύλαξ, ακος, guarda.

[2] Καὶ ἐφοβήθησαν φόβον μέγαν, les entró gran temor. Gr. n.° 231.

221. [1] Ἐτέχθη, aor. pas. de τίκτω

[2] Εὑρήσετε, fut. de εὑρίσκω.

[3] Ἐσπαργανωμένον, part. de perf. pas. de σπαργανόω.

[4] Κείμενον, part. de κεῖμαι.

[5] Καὶ ἐξ-αίφνης...; ordénese: καὶ ἐξ-αίφνης σὺν τῷ ἀγγέλῳ ἐγένετο πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν Θεὸν καὶ λεγόντων... Αἰνούντων y λεγόντων están en genitivo porque se suple ἀγγέλων (una multitud del ejército celestial de ángeles que alababan y decían).

222. [1] διέλθωμεν... ἴδωμεν, pasemos y veamos. Gr. n.° 287.

[2] Τὸ γεγονός, lo sucedido, part. perf. de γίγνομαι, ser, suceder.

[3] Ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν, lo que el Señor nos ha mostrado, enseñado. El primer ὃ es compl. directo de ἐγνώρισεν, acus. neutro del relativo ὅς, ἥ, ὅ. El segundo es artículo.

[4] Ἀν-εῦρον, aor. 2.° de ἀν-ευρίσκω.

[5] Ἰδόντες, de ὁράω, ver.

[6] Διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος, lit.: dieron a conocer (manifestaron) acerca de la palabra dicha (por los ángeles) a ellos, acerca de este niño.

δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς [1] ἤκουσαν καὶ εἶδον, καθὼς [2] ἐλαλήθη πρὸς αὐτούς.

(San Lucas, II, 1-21.)

JESÚS ENTRE LOS DOCTORES

224. Τὸ δὲ παιδίον ηὔξανεν [1] καὶ ἐκραταιοῦτο πληρούμενον σοφίας· καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτό. Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος [2] εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα. Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβαινόντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειωσάντων [3] τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ· καὶ οὐκ ἔγνωσαν οἱ γονεῖς αὐτοῦ. Νομίσαντες δὲ αὐτὸν εἶναι ἐν τῇ συνοδίᾳ, ἦλθον ἡμέρας ὁδόν καὶ ἀνεζήτουν [4] αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς.

225. Καὶ μὴ εὑρόντες, ὑπέστρεψαν [1] εἰς Ἱερουσαλὴμ ἀναζητοῦντες αὐτόν. Καὶ ἐγένετο, μετὰ [2] ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα [3] αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς. Ἐξίσταντο [4] δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. Καὶ ἰδόντες αὐτόν, ἐξεπλάγησαν [5]· καὶ εἶπε πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ· «Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου καὶ ἐγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε».

226. Καὶ εἶπε πρὸς αὐτούς· «Τί ὅτι [1] ἐζητεῖτέ με; οὐκ ἤδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με»; Καὶ αὐτοὶ οὐ συνῆκαν [2] τὸ ῥῆμα, ὃ ἐλάλησεν αὐτοῖς. Καὶ κατέβη [3] μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέθ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. Καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα

---

223. [1] Οἷς, está en dat. por atracción de πᾶσιν; debería ser ἃ ἤκουσαν. Gr. n.° 220, a.

[2] Καθὼς = κατὰ ὡς. Gr. n.° 22, 1.

224. [1] Ηὔξανε de αὐξάνω, aumentar, crecer.—πληρούμενον de πληρόω, llenar. Está en nom. neutro concertado con παιδίον.

[2] Κατ' ἔτος, cada año.

[3] Καὶ τελειωσάντων, y habiendo acabado los días aquellos, cuando ellos tenían que volver (a Nazaret).

[4] Ἀνεζήτουν de ἀνα-ζητέω, buscar.

225. [1] Ὑπέστρεψαν de ὑπο-στρέφω, volver.

[2] Μετὰ ἡμέρας, después de tres días.

[3] Ἀκούοντα αὐτῶν. Gr. n.° 252.—ἐπερωτῶντα αὐτούς de ἐπ-ερωτάω, preguntar. Gr. n.° 234.

[4] Ἐξίσταντο de ἐξίσταμαι, estar asombrado.

[5] Ἐξεπλάγησαν de ἐκ-πλήσσω, admirar; en *pas.* admirarse.

226. [1] Τί ὅτι, que (es) por lo que, por qué.—ἤδειτε de οἶδα.

[2] Συνῆκαν de συνίημι, comprender.

[3] Κατέβη de κατα-βαίνω, bajar.—ὑποτασσόμενος de ὑπο-τάσσω, colocar debajo; en *pas.* obedecer.

τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ [4] καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

(San Lucas, II, 40-52.)

Bodas de Caná

Falta el vino

227. Καὶ τῇ ἡμέρᾳ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καί ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ. Ἐκλήθη [1] δὲ καί ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. Καὶ ὑστερήσαντος οἴνου [2] λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· «οἶνον οὐκ ἔχουσιν». Καὶ λέγει αὐτῇ ὁ Ἰησοῦς. «τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου». Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· «ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε ».

Jesús hace el milagro

228. Ἦσαν δὲ ἐκεῖ λίθιναι ὑδρίαι ἓξ [1] κατὰ τὸν καθαρισμὸν [2] τῶν Ἰουδαίων κείμεναι, χωροῦσαι ἀνὰ [3] μετρητὰς δύο ἢ τρεῖς. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· «γεμίσατε τὰς ὑδρίας ὕδατος». Καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. Καὶ λέγει αὐτοῖς· «ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχι-τρικλίνῳ». Οἱ δὲ ἤνεγκαν [4].

Admiración del maestresala

229. Ὡς δὲ ἐγεύσατο ὁ ἀρχι-τρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον [1], καὶ οὐκ ᾔδει [2] πόθεν ἐστίν, (οἱ δὲ διάκονοι [3] ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ,) φωνεῖ τὸν νυμφίον ὁ ἀρχι-τρίκλινος καὶ λέγει αὐτῷ· «πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησιν, καὶ ὅταν μεθυσθῶσιν τότε τὸν ἐλάσσω [4]· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι».

[1] Σοφίᾳ... en cuanto a sabiduría. (Gr. n.° 243).

227. [1] Ἐκλήθη, aor. pas. de καλέω, llamar; aquí = invitar.

[2] Ὑστερήσαντος οἴνου, terminándose el vino; genit. absoluto.

[3] Διάκονος, servidor, *diácono*, ministro eclesiástico inmediato al sacerdocio. En un principio su oficio era servir en las iglesias.

[4] Ποιήσατε, haced. Gr.n.° 287, 324.

228. [1] Ἕξ, seis> *exosa*. Ἐξ, *prep.* no tiene acento y lleva espíritu suave.

[2] Κατὰ τὸν καθαρισμόν, para la purificación.

[3] Χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς, conteniendo unas dos o tres metretas. Cada metreta equivalía a unos 40 litros.

[4] Ἤνεγκαν, aor. de φέρω, llevar.

229. [1] Γεγενημένον, perf. del part. de γίγνομαι.

[2] Ἤιδει, de οἶδα.

[3] Οἱ δὲ διάκονοι οἱ ἠντληκότες τὸ ὕδωρ ᾔδεισαν, pero los sirvientes que habían sacado el agua lo sabían.

[4] Τὸν ἐλάσσω, el peor; comparativo de ὀλίγος, se suple τίθησιν. —μεθυσθῶσιν de μεθύσκω.

Ταύτην ἐποίησεν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾶ τῆς Γαλιλαίας καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.

(San Juan, II, 1-22.)

Las Bienaventuranzas

Muchos enfermos siguen a Jesús

230. Καὶ περι-ἦγεν ὁ Ἰησοῦς ἐν ὅλῃ τῇ Γαλιλαίᾳ διδάσκων ἐν ταῖς συν-αγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐ-αγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Καὶ ἀπ-ῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ προσ-ήνεγκαν [1] αὐτῷ πάντας τοὺς κακῶς [2] ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους καὶ δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς.

Jesús rodeado de una multitud

231. Καὶ ἠκολούθησαν αὐτῷ [1] ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας καὶ πέραν τοῦ Ἰορδάνου [2]. Ἰδὼν δὲ τοὺς ὄχλους ἀν-έβη [3] εἰς τὸ ὄρος καὶ καθίσαντος αὐτοῦ προσ-ῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· καὶ ἀν-οίξας. [4] τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων.

Las Bienaventuranzas

232. «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρα-κληθήσονται [1].

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρο-νομήσουσιν τὴν γῆν.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

---

230. [1] Προσ-ήνεγκαν, de προσφέρω.

[2] Τοὺς κακῶς ἔχοντας, a los que estaban mal.

231. [1] Ἠκολούθησαν αὐτῷ, le acompañaban. Ἀκολουθέω rige dativo.

[2] Πέραν τοῦ Ἰορδάνου, del otro lado del Jordán.

[3] Ἀν-έβη, de ἀναβαίνω, subir.

[4] Ἀν-οίξας, aor. de part. de ἀνοίγω, abrir.

232. [1] Παρα-κληθήσονται, fut. pas. de παρα-καλέω.

233. Μακάριοι οἱ εἰρηνο-ποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται [1].

Μακάριοι οἱ δεδιωγμένοι [2] ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν καὶ εἴπωσιν [3] πᾶν πονηρὸν καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως γὰρ ἐδίωξαν τοὺς προφήτας [4] τοὺς πρὸ ὑμῶν [5]».

San Mateo, IV, 23-V, 13.)

Parábola del Samaritano

234. Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ [1] εἰς Ἰεριχώ, καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες [2] ἡμιθανῆ τυγχάνοντα. Κατὰ συγκυρίαν [3] δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν [4]. Ὁμοίως δὲ καὶ Λευίτης κατὰ τὸν τόπον ἐλθὼν καὶ ἰδὼν ἀντιπαρῆλθεν. Σαμαρίτης δὲ τις ὁδεύων ἦλθε κατ' αὐτόν, καὶ ἰδών, ἐσπλαγχνίσθη [5]. Καὶ προσελθὼν κατέδησε [6] τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοκεῖον καὶ ἐπεμελήθη αὐτοῦ.

235. Καὶ ἐπὶ τὴν αὔριον [1] ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδοκεῖ, καὶ εἶπεν «ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι». — Τίς τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος [2] εἰς τοὺς λῃστάς; Ὁ δὲ εἶπεν· «Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ». Εἶπε αὐτῷ ὁ Ἰησοῦς· «πορεύου, καὶ σὺ ποίει ὁμοίως».

(San Lucas, X, 30-37.)

---

233. [1] Κληθήσονται, de καλέω.

[2] Δεδιωγμένοι, perf. del part. de διώκω, perseguir.

[3] Ὅταν ὀνειδίσωσιν καὶ διώξωσιν καὶ εἴπωσιν, cuando os injurien, y persigan, y digan...; son todos aoristos de subjuntivo. (Gr. n.° 332.)

[4] Προ-φήτης, el que dice antes (πρό, antes y φημί, decir), *profeta*.

[5] Τοὺς πρὸ ὑμῶν, los de delante de vosotros, los anteriores a vosotros.

234. [1] Ἀπὸ Ἱερουσαλὴμ..., de Jerusalén a Jericó.—καὶ λῃσταῖς περιέπεσεν, y cayó en (manos de) ladrones. De περι-πίπτω.

[2] Ἀφέντες... habiéndole dejado a él que estaba medio muerto.—ἡμιθανῆ ac. de ἡμιθανής, ές, medio muerto.

[3] Κατὰ συγκυρίαν, por casualidad.

[4] Ἀντιπαρῆλθεν de ἀντι-παρ-έρχομαι, pasar de largo.—λευίτης, ου, levita.—σαμαρείτης, ου, samaritano.

[5] Ἐσπλαγχνίσθη de σπλαγνιζομαι, compadecerse.

[6] Κατα-δέω, vendar.—ἐπι-βιβάσας, de ἐπι-βιβάζω, hacer subir.

235. [1] Ἐπὶ τὴν αὔριον (ἡμέραν), al día siguiente.—ὅ τι ἂν προσδαπανήσῃς (Gr. n.° 338). De προσδαπανάω, gastar de más.—ἐν τῷ ἐπ-ανέρχεσθαι, al volver.

[2] Ἐμπέσοντος de ἐμ-πίπτω, caer.

El Padre nuestro

236. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω [1] τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ [2] ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· ἀλλὰ ῥῦσαι [3] ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

San Mateo, VI, 9-13.)

Fe en la providencia de Dios

237. Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ ·«Μὴ μεριμνᾶτε τῇ ψυχῇ τί φάγητε [1], μηδὲ τῷ σώματι τί ἐνδύσησθε. Ἡ γὰρ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς [2], καὶ τὸ σῶμα τοῦ ἐνδύματος ὅτι οὔτε σιτείρουσιν οὔτε θερίζουσιν. Κατανοήσατε [3] τοὺς κόρακας, οἷς οὐκ ἔστι ταμεῖον οὐδὲ ἀποθήκη· καὶ ὁ Θεὸς τρέφει αὐτούς. Κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει· οὐδὲ Σαλομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν [4] τούτων. Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε καὶ τί πίητε [5]· πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα προστεθήσεται [6] ὑμῖν». *(San Lucas, XII, 22-31.)*

La oveja perdida

238. Τίς ἄνθρωπος ἐξ ὑμῶν [1] ἔχων ἑκατὸν πρόβατα καὶ ἀπολέσας [2] ἐξ αὐτῶν ἓν οὐ καταλείπει τὰ ἐνενηκοντα ἐννέα ἐν τῇ ἐρήμῳ [3], καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλός, ἕως εὕρῃ αὐτό; Καὶ εὑρὼν, ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ χαίρων· καὶ ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ

---

236. [1] Ἁγιασθήτω, de ἁγιάζω, santificar.

[2] Ὡς καὶ ,como también.

[3] Ῥῦσαι de ρύομαι, sacar, alejar.

237. [1] Φάγητε es aor. 2.° de subj. de ἐσθίω. (Gr. n.° 308).–ἐνδύσησθε aor. 2.° de subj. de ἐνδύω. Gr. n.° 308.

[2] Τῆς τροφῆς, más que la comida. Gr. n.° 223.–τοῦ ἐνδύματος, más que el vestido. Gr. n.° 223.

[3] Κατανοήσατε, observad. Gr. n.° 287.–πῶς αὐξάνει, cómo crecen. Gr. n.° 310.

[4] Ἕν τούτων, como uno de estos.–ἕν nom. neutro, se refiere a κρίνον.

[5] Τί φάγητε καὶ τί πίητε, qué comeréis o qué beberéis. Gr. n.° 308.–πίητε, aor. de subj. de πίνω.

[6] Προστεθήσεται, fut. ind. pas. de προστίθημι, conceder, añadir.

238. [1] Ἐξ ὑμῶν, de vosotros. En el N. T. en vez del gen. partitivo se usa ἐξ con genitivo. Gr. número 248.

[2] Ἀπολέσας aor. de part. de ἀπόλλυμι.–Nótese la diferencia de ἕν uno y ἐν en.

[3] Ἐν τῇ ἐρήμῳ, se sobreentiende χώρᾳ, en una región desierta.–ἔρημος tiene dos terminaciones.–ἀπολωλός, hacia la pérdida; perf. de part. nom. forma neutra de ἀπόλλυμι.–ἕως εὕρῃ, hasta que la encuentra. De εὑρίσκω. Gr. n.° 332, ha suprimido el ἄν.

τοὺς φίλους, λέγων αὐτοῖς· συγχάρητέ [4] μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός. Λέγω ὑμῖν, ὅτι οὕτως [5] χαρὰ ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐνενήκοντα ἐννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας.

(San Lucas, XV, 4-7.)

Institución de la Eucaristía

239. Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε [1], καὶ ἔδωκεν αὐτοῖς λέγων· «Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν».

Ὡσαύτως καὶ τὸ ποτήριον [2] μετὰ τὸ δειπνῆσαι, λέγων· «Τοῦτο τ ποτήριον, ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυννό μενον. Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου πορεύται κατὰ τὸ ὡρισμένον [3]· πλὴ οὐαὶ [4] τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται».

(San Lucas, XXII, 19-22.)

Crucifixión de Jesús

240. Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν. Στραφεὶς [1] δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς, εἶπε· «Μὴ κλαίετε ἐπ' [2] ἐμέ· πλὴν.

---

[4] Συγχάρητε, congratulaos conmigo. Es aor. de imperativo pas. de συγχαίρω.

[5] Οὕτως... ἢ..., tanto... como...

239. [1] Ἔκλασε de κλάω, partir. κλαίω, llorar.—κλείω, cerrar.

[2] Ποτήριον, se sobreentiende ἔλαβε, tomó.

[3] Ὡρισμένον perf. de part. de ὁρίζω, separar, dividir, decretar.

[4] Πλὴν οὐαί, pero ¡ay de aquel hombre!

240. [1] Στραφεὶς aor. 2.° de part. pas. de στρέφω, volver.

[2] Ἐπί, por causal. En pocas palabras tenemos las tres formas de ἐπί.—ἐπι ante consonante; ἐπ' ante vocal; ἐφ' ante espíritu áspero.

ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν». Ἤγοντο [3] δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι [4]. Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτόν, καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν [5], ὃν δὲ ἐξ ἀριστερῶν.

(San Lucas, XXIII, 27-33.)

Últimas palabras de Jesús

241. Ὁ δὲ Ἰησοῦς ἔλεγε· «Πάτερ, ἄφες [1] αὐτοῖς· οὐ γὰρ οἴδασι [2] τί ποιοῦσι». Καὶ εἱστήκει [3] ὁ λαὸς θεωρῶν. Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες· «Ἄλλους ἔσωσε· σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός». Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν, λέγων· «Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον [4] σεαυτὸν καὶ ἡμᾶς». Ὁ ἕτερος δὲ ἐπετίμα αὐτῷ, λέγων· «Οὐδὲ φοβῇ σὺ τὸν Θεόν; Καὶ ἡμεῖς μὲν δικαίως οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε». Καὶ ἔλεγε τῷ Ἰησοῦ· «Μνήσθητί [5] μου, Κύριε, ὅταν ἔλθῃς ἐν [6] τῇ βασιλείᾳ σου». Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· «Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ».

(San Lucas, XXIII, 34-43.)

242. Καὶ ἐσκοτίσθη ὁ ἥλιος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον [1]. Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς, εἶπε· «Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου». Καὶ ταῦτα εἰπὼν, ἐξέπνευσεν [2]. Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον, ἐδόξαζε τὸν Θεόν, λέγων· «Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν». Καὶ πάντες οἱ ὄχλοι, θεωρήσαντες τὰ γενόμενα τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον.

(San Lucas, XXIII, 45-48.)

---

[3] Ἤγοντο imperf. pas. de ἄγω, conducir.

[4] Ἀναιρεθῆναι, aor. inf. pas. (en ind. es ἀν-ῃρέθην) de ἀν-αιρέω, hacer morir. Es inf. final. Gr. n.° 314.

[5] Ἐκ δεξιῶν..., a dextris... a sinistris, a derecha y a izquierda.

241. [1] Ἄφες, aor. part. de ἀφίημι, dejar, absolver, perdonar.

[2] Οἴδασι, en San Lucas en vez de ἴσασι.

[3] Εἱστήκει, stetit, estaba. Es perf. de ἵστημι. Gr. n.° 157.

[4] Σῶσον, sálvate. Es aor. de imperativo de σώζω.

[5] Μνήσθητι, de aor. de imperat. pas. de μνάομαι, acordarse.—ὅταν ἔλθῃς, cuando entres. Gr. n.° 332.

[6] Ἐν, San Lucas usa a veces ἐν y dat. por εἰς y ac.

242. [1] Μέσον, en medio, en cuanto al medio. Gr. n.° 278.

[2] Ἐξέπνευσεν, de ἐκ-πνέω, expirar.

243. Τῇ δὲ μιᾷ [1] τῶν σαββάτων, ὄρθρου βαθέως [2], ἦλθον αἱ γυναῖκες ἐπὶ τὸ μνῆμα, φέρουσαι [3] ἃ ἡτοίμασαν ἀρώματα· εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον [4] ἀπὸ τοῦ μνημείου· καὶ εἰσελθοῦσαι [5], ἰδοὺ ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν [6] ἐσθήτεσιν ἀστραπτούσαις, καὶ εἶπον πρὸς αὐτάς· «Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη [7]. Μνήσθητε [8] ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων ὅτι, Δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι».

(San Lucas, XXIV, 1-7.)

---

243. [1] Τῇ δε..., en vez de τῃ δὲ πρώτῃ ἡμέρᾳ, en el primer día.

[2] Βαθέως de βαθύς.

[3] Φέρουσαι, trayendo los aromas que había preparado.—φέρουσαι, pres. part.

[4] Ἀποκεκυλισμένον de ἀπο-κυλίω, remover.

[5] Εἰσελθοῦσαι, concierta con γυναῖκες como φέρουσαι.

[6] Ἐν..., con vestiduras. — En San Lucas es frecuente ἐν con dat. instrumental.

[7] Ἠγέρθη, de ἐγείρω.

[8] Μνήσθητε de μναομαι.—ἀναστῆναι, de ἀνίστημι.

ABREVIATURAS

act.: voz activa
f.: femenino
intr.: intransitivo
lit.: literalmente
m.: masculino
med.: voz media
mf.: masculino y femenino
n.: nombre
n.: neutro
pas.: voz pasiva
pl.: plural
prep.: preposición
s. s.: se suple
tr.: transitivo
v.: véase

VOCABULARIO

A

ἀγαθός, 3 (1), bueno.
ἀγάλλω, exaltar, adornar, *med.*, gozarse.
ἀγανακτέω, indignarse, irritarse.
ἀγγέλλω, anunciar, hacer saber.
ἄγγελος, ου, *m.*, mensajero, *ángel.*
ἀγέλη, ης, *f.*, rebaño.
ἁγιάζω, santificar.
ἅγιος, 3, santo, sagrado.
ἄγκυρα, ας, *f.*, *áncora*, ancla.
ἁγνεύω, ser puro.
ἀγορά, ᾶς, *f.*, plaza pública, mercado.
ἀγραυλέω, vivir en el campo.
ἀγρεύω, cazar, pescar.
ἄγριος, 3, rústico, salvaje.
ἀγρός, οῦ, *m.*, campo, tierra.
ἄγω (*fut.*, ἄξω; *aor.*, ἦξα, ἤγαγον; *pf.*, ἦχα, ἀγήοχα), llevar, conducir, guiar.
ἀδελφός, οῦ, *m.*, hermano.
ᾅδης, ου, infierno.
ἀδη-φάγος, 2, voraz, glotón.
ἀδικέω, ser injusto.
ἀδικία, ας, *f.*, injusticia.
ἀ-δόκητος, 2, inesperado.
ἀ-δύνατος, 2, débil, impotente, incapaz, imposible.
ᾄδω (*fut.*, ᾄσω; *aor.*, ᾖσα; *pf.*, ᾖσμαι), cantar.
ἀετός, οῦ, *m.*, águila.
ἀήρ, ἀέρος, *mf.*, aire.
ἄθλιος, 3, miserable, desgraciado.
ἄθριξ, ἄ-τριχος, sin pelo.
ἀθροίζω *y* ἁθροίζω, reunir.
ἀθρόος *y* ἁθρόος, 2, compacto, todo(s) de una vez, al mismo tiempo, en masa.
αἴθιοψ, οπος, etíope.
αἴθω, *tr.*, encender, quemar.
αἷμα, ατος, *n.*, sangre.
αἰνέω, alabar.
αἰνίσσομαι, insinuar.
αἱρέω (*fut.*, αἱρήσω; *aor.*, ᾕρησα, εἷλον; *pf.*, ᾕρηκα), tomar.
αἴρω (*fut.*, ἀρῶ; *aor.*, ἦρα; *pf.*, ἦρκα), levantar, llevar en alto.
Αἰσχυλος, ου, *m.*, Esquilo.
αἰσχύνη, ης, vergüenza.
αἰτέω, pedir.
αἰτία, ας, *f.*, causa, motivo.
αἰτιάομαι, acusar, reprochar.
αἴτιος, autor, culpable.
ἀκοή, ῆς, *f.*, noticia.
ἀκολουθέω, acompañar, seguir.
ἀκόντιον, ου, *n.*, dardo.
ἀκούω (*fut.*, ἀκούσομαι; *aor.*, ἤκουσα; *pf.*, ἀκήκοα), oir.
ἀκτίς, ῖνος, *f.*, rayo de sol, rayo.
ἀλαζονεία, ας, *f.*, jactancia.
ἀλαζονεύομαι, jactarse, fanfarronear.
ἀλαλάζω, *intr.*, lanzar un gran grito, gritar.
ἀλγέω, sentir dolor físico.
ἀλεκτρυών, όνος, *mf.*, gallo, gallina.
ἀλήθεια, ας, *f.*, verdad.
ἀληθεύω, decir la verdad, declarar con franqueza.

---

(1) 2, 3. Estos números detrás de los adjetivos significan que tienen dos o tres terminaciones en el nominativo.

ἀ-ληθής, 2, veraz, equitativo, verdadero.
ἀληθῶς, *adv.*, verdaderamente.
ἁλιεύς, έως, *m.*, pescador.
Ἀλκιβιάδης, ου, *m.*, Alcibíades.
ἀλλά, *conj.*, sino, y bien, pero, mas.
ἀλλὰ καί, sino también.
ἀλλήλων, *gen. pl.*, *sin nom.*, unos a otros.
ἅλλομαι (*fut.*, ἁλοῦμαι; *aor.*, ἡλάμην), saltar, brincar, lanzarse.
ἄλλος, η, ο, otro; *prec. de art.*, restante.
ἀλλότριος, 3, de otro.
ἀλλό-φυλος, 2, extranjero.
ἀ-λόγιστος, 2, irreflexivo, incalculable.
ἀλυσιδωτός, 3, hecho de malla.
ἀλώπηξ, εκος, *f.*, zorra.
ἅμα, *prep.*, juntamente con.
ἁμαρτία, ας, *f.*, error, falta.
ἁμαρτωλός, 2, pecador, culpable.
ἀ-μάχητος, ον, pacífico, sin combatir.
ἀμείβω, responder, cambiar.
ἀμελεία, ας, *f.*, negligencia.
ἀ-μελέω, no molestarse por, descuidar, desatender.
ἀμήν, amén, así sea.
ἀμηχανέω, no tener medio, estar en apuro.
ἀ-μιαντος, 2, inmaculado, puro.
ἀμνημονεύω, olvidar.
ἀμνός, οῦ, *mf.*, cordero.
ἄμπελος, ου, *f.*, viña.
ἀμύνω, apartar, defender, proteger.
ἀμύσσω, arañar.
ἀμφότερος, uno y otro, ambos.
ἄν, en los pretéritos es part. *a) de rel.*, *irreal:* εἴχετ' ἄν (vosotros tendríais); *b) iterativa:* ἔπαισεν ἄν (golpeaba, pegaba).
ἄν por ἐάν = εἰ ἄν, *conj.*, si.
ἀνά, *adv.*, arriba; *prep.*, sobre, hacia arriba, a través de, durante.
ἀνα-βαίνω, subir.
ἀνα-βάτης, ου, *m.*, jinete.
ἀνα-βοάω, gritar, llamar a gritos.
ἀνάγκη, ης, *f.*, necesidad, apremio.
ἀν-αγορεύω, repetir.
ἀνα-δενδράς, άδος, *f.*, parra, cepa, que sube por los árboles.
ἀνα-ζητέω, buscar.
ἀνα-θέω, subir rápidamente, trepar.
ἀνα-δεια, ας, *f.*, desvergüenza.
ἀν-αιρέω *act.*, ganar (un premio), quitar (de en medio), hacer desaparecer, hacer morir.
ἀν-ευρίσκω, descubrir.
ἀνα-κλίνω, reclinar, inclinar o apoyarse hacia atrás.
ἀνα-κομίζω, traer arriba.
ἀνα-λαμβάνω, tomar levantado.
ἀνάμνησις, εως, recuerdo.
ἀνα-παύω, *I tr.*, hacer cesar; *II intr.*, descansar, cesar, dormir.
ἀνα-πεδάω, saltar.
ἀνα-πνέω, respirar, expirar.
ἀνα-πνοή, ῆς, respiración.
ἀνάστασις, εως, *f.*, ruina.
ἀνα-φέρω, llevar arriba.
ἀνα-χωρέω, retirarse, retroceder, alejarse.
ἀνδρεῖος, valiente, viril.
Ἀνδροκλῆς, έος, *m.*, Androcles.
ἀνδρο-φόνος, homicida, asesino.
ἄνεμος, ου, *m.*, viento.
ἀν-έρχομαι, subir.
ἀν-έχω, *tr.*, sostener.
ἀν-ήκω, estar elevado, avanzar.
ἀνήρ, ἀνδρός, *m.*, varón, esposo, marido.
ἀνθέμοιον, ου, *n.*, florecilla.
ἀνθ-ίστημι, oponerse a, resistir a.
ἄνθος, εος, *n.*, flor.
ἄνθραξ, ακος, *m.*, carbón.
ἄνθρωπος, ου, *mf.*, hombre.
ἀν-ίστημι, hacer levantarse, resucitar.
ἄ-νοια, ας, insensatez, necedad.
ἀν-οίγω (*fut.*, ἀνοίξω; *aor.*, ἀνέῳξα; *pf.*, ἀνέῳχα), abrir, descubrir.
ἀντ-έχω, resistir.
ἀντίος, 3, opuesto, contrario.
ἀντι-τείνω, resistir.
ἀντλέω, sacar (agua), gastar.
ἄντρον, ου, *n.*, cueva.
ἄνω, arriba.
ἄνωθεν, *adv.*, de arriba.
ἀξίνη, ης, *f.*, hacha.
ἄξιος, 3, digno de.
ἀ-παίδευτος, 2, ignorante, estúpido.
ἀπ-αλλάσσω, *y* ἀπ-αλλάττω, alejarse, apartar.
ἅ-παξ, *adv.*, (de) una vez.
ἅ-πας, -ασα, -αν, *sing.*, todo; *pl.*, todo junto.
ἀπ-άγω, apartar, separar.

ἄπ-ειμι, irse, partir.
ἀπ-έρχομαι, partir.
ἀπό, *prep. de gen.*, de.
ἀπο-βαίνω, *intr.*, salir, llegar a.
ἀπο-βάλλω, echar lejos, perder.
ἀπο-γραφή, ῆς, *f.*, registro.
ἀπο-γράφω, registrar; *med.*, hacerse inscribir en una lista de deudores.
ἀπο-δέχομαι, recibir, aprobar, comprender.
ἀπο-διδράσκω, huir secretamente; *tr.*, huir de.
ἀπο-δίδωμι, devolver, restituir.
ἀπο-δύρομαι, lamentarse de.
ἀπο-θήκη, ης, *f.*, almacén.
ἀπο-κρίνω, *med.*, responder.
ἀπο-κρύπτω, esconder.
ἀπο-κτείνω, matar.
ἀπο-κυλίω, remover.
ἀπο-λαύω, gozar de.
ἀπο-λείπω, *tr.*, abandonar, dejar atrás.
ἀπο-λιμπάνω, *v.*, ἀπολείπω.
ἀπ-όλλυμι, perder, *med.*, perecer.
ἀπο-λύω, librar.
ἄ-πονος, 2, exento de sufrimiento.
ἀπο-πνίγω, sofocar, ahogar.
ἀπορία, ας, *f.*, dificultad, privación, escasez.
ἀπό-σιτος, 2, que se abstiene de comer, en ayunas.
ἀπο-σφάττω, degollar, matar.
ἀπο-τέμνω, cortar.
ἀπο-τίθημι, deponer, depositar.
ἀπο-φαίνω, hacer ver, hacer conocer, denunciar.
ἅπτω, sujetar *(med. con gen.)*, tocar, alimentarse de.
ἄρα, entonces, así pues.
ἀράχνη, ης, *f.*, araña.
ἀραχνης, ου, *m. v. ant.*
ἀργία, ας, *f.*, ociosidad.
ἀργός, 3, perezoso, ocioso.
ἄργυρος, ου, *m.*, plata.
ἀρετή, ῆς, *f.*, valor, virtud.
ἀρίστερος, 3, situado a la izquierda.
Ἀρίστων, ωνος, *m.*, Aristón.
ἀρκέω, apartar, bastar; *pas.*, estar satisfecho de, contentarse con.
ἄρκτος, ου, *mf.*, oso, osa.
ἁρμόζω, ajustar, adaptar.
ἄρτι, *adv.*, al instante, hace poco.
ἄρτος, ου, *m.*, pan de trigo.
ἀρχή, ῆς, *f.*, principio, mando.
ἀρχι-τρίκλινος, ου, *m.*, maestresala.
ἄρχω, mandar, dominar; *med.*, comenzar.
ἄρχων, οντος, *m.*, jefe, *arconte.*
ἄρωμα, ατος, *n.*, aroma.
ἀ-σεβής, 2, impío.
ἀσθένεια, ας, *f.*, debilidad.
ἀ-σθενής, 2, débil.
ἄσθμα, ατος, *n.*, falta de aliento.
Ἀσκάλων, ωνος, Ascalón.
ἀσπίς, ίδος, *f.*, escudo.
ἀστήρ, έρος, estrella.
ἀστράπτω, brillar.
ἀσφάλεια, ας, *f.*, seguridad.
ἄτοπος, 2, inconveniente.
ἀ-τυχία, ας, *f.*, desgracia.
Αὔγουστος, ου, *m.*, Augusto.
αὖθις, *adv.*, de nuevo.
αὐλέω, tocar la flauta, cantar.
αὔλιον, ου, *n.*, cabaña, establo.
αὐλών, ῶνος, *mf.*, valle.
αὐξάνω, αὐξήσω, aumentar, crecer.
αὐτίκα, *adv.*, al instante, al momento.
αὐτός, ή, ό, mismo; él, él mismo; *precedido de art.*, el mismo, la misma, lo mismo.
ἀφ-αιρέω, quitar.
ἀφθονία, ας, *f.*, abundancia, liberalidad.
ἄ-φθονος, 2, copioso, abundante.
ἀφ-ίημι, arrojar, dejar ir, absolver, librar de, perdonar.
ἀ-χάριστος, 2, ingrato.
ἄχρι (ς), *adv.*, completamente; *prep.*, hasta; *conj.*, hasta que, mientras que.

B

βαδίζω, caminar, marchar.
βακτηρία, ας, *f.*, bastón de viaje.
βάλλω *(fut.*, βαλῶ; *aor.*, 2.° ἔβαλον; *pf.*, βέβληκα); *tr.*, lanzar, arrojar.
βάραθρον, ου, *n.*, *báratro*, abismo.
βάρβαρος, 2, extranjero, *bárbaro.*
βαρύνω, hacer pesado, entorpecer.
βάσανος, ου, *f.*, prueba, piedra de toque.
βασιλεία, ας, *f.*, reino.
βασίλεια, ας, *f.*, reina.
βασιλεύς, έως, *m.*, rey.
βασιλεύω, ser rey, reinar.

βαΰζω, ladrar.
βδάλλω, chupar, mamar.
βέλος, εος, *n.*, flecha.
Βηθλεέμ, Belén.
βηθλεεμίτης, ου, *m.*, de Belén, belemita.
βία, ας, *f.*, fuerza, vigor, violencia.
βίαιος, 3, molesto, violento.
βίβλος, ου, *f.*, libro.
βίος, ου, *m.*, vida, existencia.
βλαβερός, 3, perjudicial, funesto.
βλάπτω, perjudicar, dañar.
βλασφημέω, injuriar, blasfemar.
βλέπω, mirar.
βοή, ῆς, *f.*, grito.
βοηθός, 3, auxiliar.
βομβέω, resonar, zumbar.
βορά, ᾶς, *f.*, alimento, comida.
βότρυς, υος, *m.*, racimo.
βουκόλος, ου, *m.*, boyero.
βουλεύω, deliberar, aconsejar, *med.*, deliberar.
βούλομαι (*fut.*, βουλήσομαι; *aor.*, ἐβουλήθην; *pf.*, βεβούλημαι), querer.
βοῦς, βοός, *m. f.* buey, vaca.
βραχίων, ονος, *m.*, brazo.
βραχύς, 3, corto, breve.
βρέφος, εος, *n.*, hijo *o* cría recién nacida.

Γ

γάλα, γάλακτος, *n.*, leche.
γαλέη, ης, *f.*, comadreja.
Γαλιλαία, ας, *f.*, Galilea.
γάμος, ου, *m.*, matrimonio, bodas, fiestas nupciales.
γάρ, *conj.*, pues, ciertamente.
γαστήρ, γαστρός, *f.*, vientre, estómago.
γαυριάω, enorgullecerse de, ufanarse de.
γε, al menos, la verdad, ciertamente.
γελάω, brillar, resplandecer, reír.
γεμίζω, llenar.
γέμω, estar lleno, estar cargado.
γένος, εος, *n.*, raza, género.
γέρων, οντος, *m.*, viejo.
γεύω, gustar, comer, probar.
γεωργέω, ser labrador; *tr.*, cultivar.
γεωργία, ας, *f.*, agricultura.
γεωργός, οῦ, *m.*, labrador.
γῆ, ῆς, *f.*, tierra, país.
γηραιός, 3, viejo, anciano.
γίγας, αντος, *m.*, gigante, hombre fuerte.
γίγνομαι (*fut.*, γενήσομαι; *aor.*, ἐγενόμην; *pf.*, γέγονα), hacerse, ser, llegar a ser, suceder.
γιγνώσκω (*fut.*, γνώσομαι; *aor.*, ἔγνων; *pf.*, ἔγνωκα), conocer, reconocer.
Γίττη, ης, Gite.
γλαυκός, 3, brillante, azulado.
γλυκύς, 3, dulce.
γλῶσσα, ης, *f.*, lengua.
γνήσιος, 3, legítimo, verdadero.
Γολιάθης, ου, *m.*, Goliat.
γραῦς, γραός, anciana, vieja.
γράφω, escribir, redactar, pintar.
γυμνός, 3, desnudo.
γυνή, γυναικός, *f.*, mujer, esposa.

Δ

δαιμονίζομαι, estar endemoniado.
δαίμων, ονος, *mf.*, dios, espíritu, *demonio.*
δάκνω (*fut.*. δήξομαι; *aor.*, ἔδηξα, ἔδακον; *pf.*, δέδηχα), morder, picar.
δάκρυον, ου, *n.*, lágrima.
δακρύω, llorar.
δάκτυλος, ου, *m.*, dedo.
δά-πεδον, ου, *n.*, tierra.
Δαυίδης, ου, *m.*, David.
δέ, *partícula que va siempre en segundo o tercer lugar en su frase*, pero, mas; *opuesta a* μέν, y, pero, por otro lado; ὁ μὲν... ὁ δέ, el uno... y el otro...; sin embargo, no obstante.
δεῖ, es necesario.
δείδω (*fut.*, δείσω; *aor.*, ἔδεισα; *pf.*, δέδοικα), temer, reverenciar.
δειλιάω, estar espantado.
δεινός, 3, hábil, terrible.
δειπνέω, comer, cenar.
δεῖπνον, ου, *n.*, comida, manjar, plato.
δέκα, *indecl.*, diez.
Δεκά-πολις, εως, *f.*, Decápolis.
δέλφαξ, ακος, *mf.*, cerdo.
δένδρον, ου, *n.*, árbol.
δεξιός, 3, que está a la derecha, hábil.

δέρμα, ατος, *n.*, piel.
δεσπότης, ου, *m.*, déspota, dueño.
δεύτερος, 3, segundo.
δέχομαι, *tr.*, recibir.
δέω (*fut.*, δήσω; *aor.*, ἔδησα; *pf.*, δέδηκα), atar.
δέω (*fut.*, δεήσω; *aor.*, ἐδέησα; *pf.*, δεδέηκα), faltar, *med.*, tener necesidad de, desear.
δηλόω, hacer visible, mostrar, revelar, ser evidente.
δημιουργός, οῦ, creador, obrero.
δηνάριον, ου, *n.*, denario.
διά, *prep. I con gen.*, durante, a través; *II acus.*, por.
δια-βιόω, vivir.
δια-δύω, penetrar.
δια-θέω, correr por todos los lados.
δια-θήκη, ης, *f.*, testamento, convenio.
διάκονος, ου, *mf.*, sirviente.
δια-λάμπω, brillar a través, comenzar a brillar.
δια-λείπω, *tr.*, dejar un intervalo.
δια-λοάω, acribillar a golpes.
δια-πράττω, hacer, ejecutar.
δια-σπάω, despedazar.
δια-σώζω, conservar.
διαυγής, 2, límpido.
διδασκαλεῖον, ου, *n.*, (διδάσκω), escuela.
διδάσκαλος, ου, *mf.*, maestro.
διδάσκω, enseñar, instruir.
δίδωμι (*fut.*, δώσω; *aor.*, ἔδωκα; *pf.*, δέδωκα), dar, entregar.
δι-ερευνάω, explorar, registrar cuidadosamente.
δι-έρχομαι, ir a través de, venir.
δίκαιος, 3, justo, recto, merecido.
δικαιοσύνη, ης, *f.*, justicia, rectitud, honradez.
δικαστής, οῦ, *m.*, juez.
δίκελλα, ης, *f.*, azada.
δίκη, ης, *f.*, justicia.
διο-γενής (Διός, γίγνομαι), nacido o hijo de Júpiter, *Diógenes*.
διπλόος, η, όον, doble.
δί-πους, *gen.*, -ποδος, bípedo, de dos pies.
δίς, *adv.*, dos veces.
διψάω, tener sed.
διώκω, perseguir.
δόγμα, ατος, *n.*, decreto.
δοκέω (*fut.*, δόξω; *aor.*, ἔδοξα; *pf.*, δεδόκηκα), parecer.
δόκιμος, 2, considerado, estimado, agradable.
δολερός, 3, astuto, taimado.
δόξα, ης, *f.*, gloria, fama.
δοξάζω, ensalzar, opinar, creer.
δορά, ᾶς, *f.*, piel (desollada).
